ὁππότε Πη[λεΐδας
τ̣ρα[χ]ε̣ῖαν̣ [Ἀτ|ρείδαισι μ]ᾶνιν
ὠρίνατ̣[ο, Δαρδανίδας
τ' ἔλυσεν ἄ[τας·
οἳ πρὶν μὲν [πολύπυργο]ν
col 32 (26) Ἴ]λ̣ίου θαητὸν ἄστυ
οὐ λεῖπον, ἀτυζόμενοι [δέ
πτ̣ᾶσσον ὀξεῖαν μάχα[ν,
εὖτ' ἐν πεδίωι κλονέω[ν
μαίνοιτ' Ἀχιλλεύς,
λαοφόνον δόρυ σείων·
ἀλλ' ὅτε δὴ πολέμοι[ο
λῆξεν ἰοστεφάνο[υ
Νηρῆιδος ἀτ|ρόμητο[ς υἱός,
ὥστ' ἐν κυανανθέϊ θ[υμὸν ἀνέρων
πόντωι Βορέας ὑπὸ κύ-
μασιν δαΐζει,
νυκτὸς ἀντάσας ἀναπ̣[‒⏑⏑‒
λῆξεν δὲ σὺν φαεσιμ[βρότωι
Ἀοῖ, στόρεσεν δέ τε πό[ντον
οὐρία· Νότου δὲ κόλπ̣[ωσαν πνοᾶι
ἱστίον ἁρπαλέως ⟨τ'⟩ ἄ-
ελπτον ἐξί̣[κ]οντο χέ̣[ρσον.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404552536/51 UNIVERSITÄT LEIPZIG